ἐν τῷ στερεώματι τοῦ οὐρανοῦ ὥστε φαίνειν ἐπὶ τῆς γῆς. καὶ ἐγέ-
16 νετο οὕτως. [16]καὶ ἐποίησεν ὁ θεὸς τοὺς δύο φωστῆρας τοὺς μεγά-
λους, τὸν φωστῆρα τὸν μέγαν εἰς ἀρχὰς τῆς ἡμέρας καὶ τὸν φω-
17 στῆρα τὸν ἐλάσσω εἰς ἀρχὰς τῆς νυκτός, καὶ τοὺς ἀστέρας. [17]καὶ
ἔθετο αὐτοὺς ὁ θεὸς ἐν τῷ στερεώματι τοῦ οὐρανοῦ ὥστε φαίνειν
18 ἐπὶ τῆς γῆς [18]καὶ ἄρχειν τῆς ἡμέρας καὶ τῆς νυκτὸς καὶ διαχωρί-
ζειν ἀνὰ μέσον τοῦ φωτὸς καὶ ἀνὰ μέσον τοῦ σκότους. καὶ εἶδεν
19 ὁ θεὸς ὅτι καλόν. [19]καὶ ἐγένετο ἑσπέρα καὶ ἐγένετο πρωί, ἡμέρα
τετάρτη.

20 [20]Καὶ εἶπεν ὁ θεός Ἐξαγαγέτω τὰ ὕδατα ἑρπετὰ ψυχῶν ζωσῶν
καὶ πετεινὰ πετόμενα ἐπὶ τῆς γῆς κατὰ τὸ στερέωμα τοῦ οὐρανοῦ.
21 καὶ ἐγένετο οὕτως. [21]καὶ ἐποίησεν ὁ θεὸς τὰ κήτη τὰ μεγάλα καὶ
πᾶσαν ψυχὴν ζῴων ἑρπετῶν, ἃ ἐξήγαγεν τὰ ὕδατα κατὰ γένη
αὐτῶν, καὶ πᾶν πετεινὸν πτερωτὸν κατὰ γένος. καὶ εἶδεν ὁ θεὸς ὅτι
22 καλά. [22]καὶ ηὐλόγησεν αὐτὰ ὁ θεὸς λέγων Αὐξάνεσθε καὶ πληθύ-
νεσθε καὶ πληρώσατε τὰ ὕδατα ἐν ταῖς θαλάσσαις, καὶ τὰ πετεινὰ
23 πληθυνέσθωσαν ἐπὶ τῆς γῆς. [23]καὶ ἐγένετο ἑσπέρα καὶ ἐγένετο
πρωί, ἡμέρα πέμπτη.

24 [24]Καὶ εἶπεν ὁ θεός Ἐξαγαγέτω ἡ γῆ ψυχὴν ζῶσαν κατὰ γένος,
τετράποδα καὶ ἑρπετὰ καὶ θηρία τῆς γῆς κατὰ γένος. καὶ ἐγένετο
25 οὕτως. [25]καὶ ἐποίησεν ὁ θεὸς τὰ θηρία τῆς γῆς κατὰ γένος καὶ
τὰ κτήνη κατὰ γένος καὶ πάντα τὰ ἑρπετὰ τῆς γῆς κατὰ γένος
26 αὐτῶν. καὶ εἶδεν ὁ θεὸς ὅτι καλά. — [26]καὶ εἶπεν ὁ θεός Ποιή-
σωμεν ἄνθρωπον κατ᾽ εἰκόνα ἡμετέραν καὶ καθ᾽ ὁμοίωσιν, καὶ ἀρχέ-
τωσαν τῶν ἰχθύων τῆς θαλάσσης καὶ τῶν πετεινῶν τοῦ οὐρανοῦ
καὶ τῶν κτηνῶν καὶ πάσης τῆς γῆς καὶ πάντων τῶν ἑρπετῶν
27 τῶν ἑρπόντων ἐπὶ τῆς γῆς. [27]καὶ ἐποίησεν ὁ θεὸς τὸν ἄνθρωπον,
κατ᾽ εἰκόνα θεοῦ ἐποίησεν αὐτόν, ἄρσεν καὶ θῆλυ ἐποίησεν αὐτούς.
28 [28]καὶ ηὐλόγησεν αὐτοὺς ὁ θεὸς λέγων Αὐξάνεσθε καὶ πληθύνεσθε
καὶ πληρώσατε τὴν γῆν καὶ κατακυριεύσατε αὐτῆς καὶ ἄρχετε τῶν
ἰχθύων τῆς θαλάσσης καὶ τῶν πετεινῶν τοῦ οὐρανοῦ καὶ πάντων
τῶν κτηνῶν καὶ πάσης τῆς γῆς καὶ πάντων τῶν ἑρπετῶν τῶν
29 ἑρπόντων ἐπὶ τῆς γῆς. [29]καὶ εἶπεν ὁ θεός Ἰδοὺ δέδωκα ὑμῖν πᾶν
χόρτον σπόριμον σπεῖρον σπέρμα, ὅ ἐστιν ἐπάνω πάσης τῆς γῆς,
καὶ πᾶν ξύλον, ὃ ἔχει ἐν ἑαυτῷ καρπὸν σπέρματος σπορίμου —
30 ὑμῖν ἔσται εἰς βρῶσιν — [30]καὶ πᾶσι τοῖς θηρίοις τῆς γῆς καὶ πᾶσι
τοῖς πετεινοῖς τοῦ οὐρανοῦ καὶ παντὶ ἑρπετῷ τῷ ἕρποντι ἐπὶ τῆς
γῆς, ὃ ἔχει ἐν ἑαυτῷ ψυχὴν ζωῆς, πάντα χόρτον χλωρὸν εἰς βρῶ-
31 σιν. καὶ ἐγένετο οὕτως. [31]καὶ εἶδεν ὁ θεὸς τὰ πάντα, ὅσα ἐποίησεν,
καὶ ἰδοὺ καλὰ λίαν. καὶ ἐγένετο ἑσπέρα καὶ ἐγένετο πρωί, ἡμέρα ἕκτη.

30 παντα Gra.] pr. και A